ἄρχει, καὶ περὶ ταῦτα ἃ δεῖ τὸν ἄνδρα· ὅσα δὲ A γυναικὶ ἁρμόζει, ἐκείνῃ ἀποδίδωσιν. ἁπάντων δὲ κυριεύων ὁ ἀνὴρ εἰς ὀλιγαρχίαν μεθίστησι· παρὰ τὴν ἀξίαν γὰρ αὐτὸ ποιεῖ, καὶ οὐχ ᾗ ἀμείνων. ἐνίοτε δὲ ἄρχουσιν αἱ γυναῖκες ἐπίκληροι οὖσαι. οὐ δὴ γίνονται κατ' ἀρετὴν αἱ ἀρχαί, ἀλλὰ διὰ πλοῦτον καὶ δύναμιν, καθάπερ ἐν ταῖς ὀλιγαρχίαις. τιμοκρατικῇ δ' ἔοικεν ἡ τῶν ἀδελφῶν· ἴσοι γάρ· πλὴν ἐφ' ὅ- B σον ταῖς ἡλικίαις διαλλάττουσι. διόπερ ἂν πολὺ ταῖς ἡλικίαις διαφέρωσιν, οὐκ ἔτι ἀδελφικὴ γίνεται ἡ φιλία. δημοκρατία δὲ, μάλιστα μὲν ἐν ταῖς ἀδεσπότοις τῶν οἰκήσεων· ἐνταῦθα γὰρ πάντες ἐξ ἴσου, καὶ ἐν αἷς ἀσθενὴς ὁ ἄρχων, καὶ ἑκάστῳ ἐξουσία.

Κεφάλαιον ιγ.

Καθ' ἑκάστην δὲ τῶν πολιτειῶν, φιλία C φαίνεται, ἐφ' ὅσον καὶ τὸ δίκαιον· βασιλεῖ μὲν, πρὸς τοὺς βασιλευομένους ἐν ὑπεροχῇ εὐεργεσίας· εὖ γὰρ ποιεῖ τοὺς βασιλευομένους, εἴπερ ἀγαθὸς ὢν ἐπιμελεῖται αὐτῶν, ἵν' εὖ πράττωσιν, ὥσπερ νομεὺς προβάτων· ὅθεν καὶ Ὅμηρος τὸν Ἀγαμέμνονα ποιμένα λαῶν εἶπε. τοιαύτη δὲ καὶ ἡ πατρική· διαφέρει δὲ τῷ μεγέθει τῶν εὐεργετημάτων· αἴτιος γὰρ τοῦ εἶναι, δοκοῦντος μεγίστου εἶναι, καὶ τροφῆς, καὶ D παιδείας· καὶ τοῖς προγόνοις δὲ ταῦτα ἀπονέμεται· φύσει τε γὰρ ἀρχικὸν πατὴρ υἱῶν, καὶ πρόγονοι ἐκγόνων, καὶ βασιλεὺς βασιλευομένων. ἐν ὑπεροχῇ δὲ καὶ αἱ φιλίαι αὗται· διὸ καὶ τιμῶνται οἱ γονεῖς. καὶ τὸ δίκαιον δὴ ἐν τούτοις, οὐ τὸ αὐτὸ, ἀλλὰ τὸ κατ' ἀξίαν· οὕτω γὰρ ἂν καὶ φιλία. καὶ ἀνδρὸς δὲ πρὸς E γυναῖκα ἡ αὐτὴ φιλία, ἣ καὶ ἐν ἀριστοκρατίᾳ. κατ' ἀρετὴν γὰρ καὶ τῷ ἀμείνονι πλέον ἀγαθὸν, καὶ τὸ ἁρμόζον ἑκάστῳ. οὕτω δὲ καὶ τὸ δίκαιον. ἡ δὲ τῶν ἀδελφῶν, τῇ ἑταιρικῇ ἔοικεν· ἴσοι γὰρ καὶ ἡλικιῶται· οἱ τοιοῦτοι δ', ὁμομαθεῖς καὶ ὁμοήθεις ὡς ἐπὶ τὸ πολύ. ἔοικε δὴ ταύτῃ καὶ ἡ κατὰ τὴν τιμοκρατικήν· ἴσοι γὰρ οἱ πολῖται βούλονται καὶ ἐπιει- F κεῖς εἶναι· ἐν μέρει δὴ τὸ ἄρχειν, καὶ ἐξ ἴσου· οὕτω δὴ καὶ ἡ φιλία. ἐν δὲ ταῖς παρεκβάσεσιν ὥσπερ καὶ τὸ δίκαιον ἐπὶ μικρόν ἐστιν, οὕτω καὶ ἡ φιλία ἐστὶ, καὶ ἥκιστα ἐν τῇ χειρίστῃ· ἐν τυραννίδι γὰρ οὐδὲν, ἢ μικρὸν φιλίας. ἐν οἷς γὰρ μηδὲν κοινόν ἐστι τῷ ἄρχοντι καὶ ἀρχομένῳ, οὐδὲ φιλία. οὐδὲ γὰρ δίκαιον·

A paucipotentiam delabitur: præter dignitatem enim id facit, & non quatenus est melior. Interdum verò vxores quoque, quibus patrimonium omne obtigit, dominantur: vnde non ex virtute sed ex diuitiis & potentia, sicut in paucorum potentatu imperia fiunt. Fratrum auté societas censipotentiæ similis est. sunt enim æ- B quales, nisi quatenus ætatibus distãt: vnde si longè ætatibus diuersi sint, fraterna inter ipsos amicitia non amplius est. Populipotentia autem in iis maximè cohabitationibus apparet, quæ sine domino sunt. ibi enim æquales omnes, in iis itē, vbi cùm princeps imbellis sit, potestatem agendi quidlibet vnusquisque habet.

CAPVT XIII.

C IN vnaquaque autem ciuilitate eatenus amicitia apparet quatenus & ius. Regi sanè erga subditos in beneficij supereminentia. bene facit enim iis qui sub regno suo sunt, siquidem bonus cùm sit, ipsorum curam habet, vt bene agant, non secus atque ouium pastor. vnde Homerus Agamemnonem pastorem populorum dixit. Talis autem paterna etiam est: tametsi magnitudine beneficiorum præstat. autor enim eius est quod videtur esse maximum, vt videlicet sint filij, eorúmque edu- D cationis, & institutionis, id quod maioribus quoque attribuitur. Nam & pater filiorum, & maiores nepotum, & rex à se rectorum natura imperium obtinet. Atq. amicitiæ hæ in supereminentia sunt, atque idcirco honorantur parentes ac ius inter hos non idem est, sed pro dignitate. sic enim & amicitia. Viri item & vxoris eadem amicitia est, atque in optimipotentia constituta: quippe cùm secundum vir- E tutem & præstantiori amplius bonum sit, & vnicuique quod conuenit, ita quoque etiam ius. At verò fratrum amicitia sodalitiæ est similis: æquales siquidem sunt & coætanei, atque huiusmodi similium morum, similiúmque affectuum plerunque sunt. huic similis reipublicæ illius amicitia est, quæ ex censis constat: quippe cùm in ea æquales inter se esse ciues debeant, F ac probi: per vicésque, & ex æquo principatus fiat, simili modo amicitia. In transgressionibus autem sicut iuris, ita amicitiæ etiam parum admodum est, & minimum omnium in pessima, in tyrannide siquidem amicitiæ reperitur aut nihil, aut parum. in quibus enim principi & subdito commune est nihil, in iis neque amicitia est: quippe cùm neque ius aliquod sit,